σὺν τῷ μείζονι, ὥστε μὴ βραδυτέρας ποιεῖν τὰς κινήσεις διὰ τὴν ὑπερβολήν. ἀγωνιστικὴ δὲ σώματος ἀρετὴ σύγκειται ἐκ μεγέθους καὶ ἰσχύος καὶ τάχους· καὶ γὰρ ὁ ταχὺς ἰσχυρός ἐστιν· ὁ γὰρ δυνάμενος τὰ σκέλη ῥιπτεῖν πως καὶ κινεῖν ταχὺ καὶ πόρρω, δρομικός· ὁ δὲ θλίβειν καὶ κατέχειν, παλαιστικός· ὁ δὲ ὦσαι τῇ πληγῇ, πυκτικός· ὁ δ' ἀμφοτέροις τούτοις, παγκρατιαστικός· ὁ δὲ πᾶσι, πένταθλος. εὐγηρία δ' ἐστὶ βραδυτὴς γήρως μετ' ἀλυπίας· οὔτε γὰρ εἰ ταχὺ γηράσκει, εὐγήρως· οὔτ' εἰ μόλις μὲν, λυπηρῶς δέ· ἔστι δὲ καὶ ἐκ τῶν τοῦ σώματος ἀρετῶν καὶ τύχης· μὴ ἄνοσος γὰρ ὢν μηδὲ ἰσχυρὸς, οὐκ ἔσται ἀπαθὴς οὐδ' ἄλυπος· καὶ πολυχρόνιος οὐκ ἄνευ τύχης διαμείνειεν ἄν· ἔστι δέ τις καὶ χωρὶς ἰσχύος καὶ ὑγιείας ἄλλη δύναμις μακροβιότητος· πολλοὶ γὰρ ἄνευ τῶν τοῦ σώματος ἀρετῶν, μακρόβιοί εἰσιν· ἀλλ' οὐδὲν ἡ ἀκριβολογία χρήσιμος ἡ περὶ τούτων εἰς τὰ νῦν. πολυφιλία δὲ καὶ χρηστοφιλία οὐκ ἄδηλα, τοῦ φίλου ὡρισμένου, ὅτι ἐστὶν ὁ τοιοῦτος φίλος, ὅστις ἃ οἴεται ἀγαθὰ εἶναι ἐκείνῳ, πρακτικός ἐστιν αὐτῶν δι' ἐκεῖνον. ᾧ δὴ πολλοὶ τοιοῦτοι, πολύφιλος· ᾧ δὲ καὶ ἐπιεικεῖς ἄνδρες, χρηστόφιλος.

εὐτυχία. εὐτυχία δέ ἐστιν ὧν ἡ τύχη ἀγαθῶν αἰτία, ταῦτα γίγνεσθαι καὶ ὑπάρχειν ἢ πάντα ἢ τὰ πλεῖστα ἢ τὰ μέγιστα· αἰτία δ' ἐστὶν ἡ τύχη ἐνίων μὲν καὶ ὧν αἱ τέχναι· πολλῶν δὲ καὶ ἀτέχνων· οἷον ὅσων ἡ φύσις· ἐνδέχεται δὲ καὶ παρὰ φύσιν εἶναι· ὑγιείας μὲν γὰρ τέχνη αἰτία· κάλλους δὲ καὶ μεγέθους φύσις· ὅλως δὲ τὰ τοιαῦτα τῶν ἀγαθῶν ἐστιν ἀπὸ τύχης, ἐφ' οἷς ἐστιν ὁ φθόνος. ἔστι δὲ καὶ τῶν παραλόγων ἀγαθῶν αἰτία τύχη· οἷον εἰ οἱ ἄλλοι αἰσχροὶ ἀδελφοί, ὁ δὲ καλός· ἢ οἱ ἄλλοι μὴ εἶδον τὸν θησαυρόν, ὁ δ' εὗρεν· ἢ εἰ τοῦ πλησίον ἔτυχε τὸ βέλος.

http://digital.slub-dresden.de/ppn346251060/26